# GREG. NAZIANZENI
# ORATIO DE MUNDO,
## ΤΟ ΚΕΙΜΕΝΟΝ.

Εἶ' ἄγε καὶ Μεγάλοιο Θεοῦ κτίσιν ὑμνείωμεν,
Δόξαις ψευδομένῃσιν ἐναντία δηριόωντες.
Εἷς ΘΕΟΣ, ὕλη δ' αὖτε καὶ εἴδεα, ὡς συνάναρχα
Ἑλλήνων πινυτοῖσι νοούμενα, μῦθος ἀφαυρός.
Τῶν μὲν ὅσα, πλάσσουσι θεοὺς, μορφώματα σεπτὰ
Οὐκ ἔσαν, ἀλλ' ἐγένοντο, θεοῦ Μεγάλοιο θέλοντος.

### ἙΡΜΗΝΕΙΑ.

Φέρε δὴ θαυμασώμεθα καὶ τὴν μεγάλην τοῦ Θεοῦ κτίσιν, μαχόμενοι καὶ ἐναντιούμενοι ταῖς ψευδέσι δόξαις τῶν Ἑλλήνων. Εἷς θεὸς, ἡ ὕλη δὲ καὶ τὰ εἴδη τοῖς συνετωτέροις τῶν Ἑλλήνων νοούμενα ὡς συνάναρχα, λόγος ἐστὶ μάταιος καὶ ἀνίσχυρος. Ὅσα γὰρ πλάττουσι μορφώματα σεπτὰ, τιμώμενα παρ' αὐτῶν ὡς θεοὶ, οὐκ ἦσαν, ἀλλ' ἐγένοντο θελήσαντος τοῦ Μεγάλου Θεοῦ.

## ΚΕΙΜΕΝΟΝ.

Τίς δ' ὕλην ποτ' ὄπωπεν ἀνείδεον, ἢ τίς ἄϋλον
Μορφὴν, καὶ μάλα πολλὰ νόου στροφάλιγξι μογήσας;
Οὐδὲ γὰρ ἄχροον εὗρον ἐγὼ δέμας, ἢ τίν' ἄσωμον
Χροιήν. Τίς διέκρινεν, ἃ μὴ φύσις εἰς ἓν ἄγουσα;

### ἙΡΜΗΝΕΙΑ.

Τίς δὲ εἶδε πώποτε ἀνείδεον ὕλην; ἢ τίς ἐθεάσατο μορφὴν ἄϋλον; Οὐδεὶς ἀπ' ἀλλήλων κεχωρισμένα ταῦτα ἑώρακε, καὶ εἰ μάλα πολ-